ὥστε εἰς τοὺς ἠδικημένους αὐτοὺς ἐπεθύμησεν ἀφικέσθαι.
ἀφικόμενος δὲ ἐδέθη καὶ ᾐκίσθη, ἀπώλετο δὲ οὐχί, ἀλλ'
28 ἐλύθη. ἔνθεν δὲ ἔπλευσεν ὡς Εὐαγόραν τὸν Κύπρου
βασιλεύοντα, καὶ ἀδικήσας εἵρχθη. ἀποδρὰς δὲ καὶ τοῦ-
τον ἔφευγε μὲν τοὺς ἐνθάδε θεούς, ἔφευγε δὲ τὴν ἑαυ-
τοῦ πόλιν, ἔφευγε δὲ εἰς οὓς τὸ πρῶτον ἀφίκοιτο τόπους.
καίτοι τίς χάρις τῷ βίῳ, κακοπαθεῖν μὲν πολλάκις, ἀνα-
29 παύσασθαι δὲ μηδέποτε; καταπλεύσας δὲ ἐκεῖθεν δεῦρο
εἰς δημοκρατίαν [εἰς τὴν αὑτοῦ πόλιν] τοῖς μὲν πρυ-
τάνεσιν ἔδωκε χρήματα, ἵνα αὐτὸν προσαγάγοιεν ἐνθάδε,
ὑμεῖς δ' αὐτὸν ἐξηλάσατε ἐκ τῆς πόλεως, τοῖς θεοῖς βε-
30 βαιοῦντες τοὺς νόμους οὓς ἐψηφίσασθε. καὶ τὸν ἄνδρα
οὐ δῆμος, οὐκ ὀλιγαρχία, οὐ τύραννος, οὐ πόλις ἐθέλει
δέξασθαι διὰ τέλους, ἀλλὰ πάντα τὸν χρόνον, ἐξ ὅσου
ἠσέβησεν, ἀλώμενος διάγει, πιστεύων ἀεὶ μᾶλλον τοῖς
ἀγνῶσι τῶν γνωρίμων διὰ τὸ ἠδικηκέναι οὓς γιγνώσκει.
τὸ δὲ τελευταῖον νῦν ἀφικόμενος εἰς τὴν πόλιν δὶς ἐν
31 τῷ αὐτῷ ἐνδέδεικται. καὶ τὸ μὲν σῶμα ἀεὶ ἐν δεσμοῖς
ἔχει, ἡ δὲ οὐσία αὐτοῦ ἐλάττων ἐκ τῶν κινδύνων γίγνε-
ται. καίτοι ὅταν τις τὸν αὑτοῦ βίον τοῖς ἐχθροῖς καὶ
τοῖς συκοφάνταις διανέμῃ, τοῦτ' ἔστι τὸ ζῆν βίον ἀβίω-
τον. ἃ τούτῳ | ὁ θεὸς οὐκ ἐπὶ σωτηρίᾳ ἐπινοεῖν δίδωσιν,
32 ἀλλὰ τιμωρούμενος τῶν γεγενημένων ἀσεβημάτων. τὸ
δὲ τελευταῖον νυνὶ παραδέδωκεν αὐτὸν ὑμῖν χρῆσθαι ὅ
τι ἂν βούλησθε, οὐ τῷ μὴ ἀδικεῖν πιστεύων, ἀλλ' ὑπὸ
δαιμονίου τινὸς ἀγόμενος ἀνάγκης. οὔκουν χρὴ μὰ τὸν
Δία οὔτε πρεσβύτερον ὄντα οὔτε νεώτερον, ὁρῶντας Ἀν-
δοκίδην ἐκ τῶν κινδύνων σῳζόμενον, συνειδότας αὐτῷ
ἔργα ἀνόσια εἰργασμένῳ, ἀθεωτέρους γίγνεσθαι, ἐνθυ-
μουμένους ὅτι ἥμισυς ὁ βίος βιῶναι κρείττων ἀλύπως
ἐστὶν ⟨ἢ⟩ διπλάσιος λυπουμένῳ, ὥσπερ οὗτος.